μήσατε τὴν γῆν αὐτῶν, καὶ ἐγὼ δώσω ὑμῖν αὐτὴν ἐν κτήσει, γῆν
ῥέουσαν γάλα καὶ μέλι· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, ὃς διώρισα ὑμᾶς
ἀπὸ πάντων τῶν ἐθνῶν. [25]καὶ ἀφοριεῖτε αὐτοὺς ἀνὰ μέσον τῶν 25
κτηνῶν τῶν καθαρῶν καὶ ἀνὰ μέσον τῶν κτηνῶν τῶν ἀκαθάρτων
καὶ ἀνὰ μέσον τῶν πετεινῶν τῶν καθαρῶν καὶ τῶν ἀκαθάρτων
καὶ οὐ βδελύξετε τὰς ψυχὰς ὑμῶν ἐν τοῖς κτήνεσιν καὶ ἐν τοῖς
πετεινοῖς καὶ ἐν πᾶσιν τοῖς ἑρπετοῖς τῆς γῆς, ἃ ἐγὼ ἀφώρισα
ὑμῖν ἐν ἀκαθαρσίᾳ. [26]καὶ ἔσεσθέ μοι ἅγιοι, ὅτι ἐγὼ ἅγιος κύριος 26
ὁ θεὸς ὑμῶν ὁ ἀφορίσας ὑμᾶς ἀπὸ πάντων τῶν ἐθνῶν εἶναι ἐμοί.
[27]Καὶ ἀνὴρ ἢ γυνή, ὃς ἂν γένηται αὐτῶν ἐγγαστρίμυθος ἢ ἐπα- 27
οιδός, θανάτῳ θανατούσθωσαν ἀμφότεροι· λίθοις λιθοβολήσατε
αὐτούς, ἔνοχοί εἰσιν.
[1]Καὶ εἶπεν κύριος πρὸς Μωυσῆν λέγων Εἰπὸν τοῖς ἱερεῦσιν τοῖς 21
υἱοῖς Ααρων καὶ ἐρεῖς πρὸς αὐτούς Ἐν ταῖς ψυχαῖς οὐ μιανθήσον-
ται ἐν τῷ ἔθνει αὐτῶν [2]ἀλλ᾽ ἢ ἐν τῷ οἰκείῳ τῷ ἔγγιστα αὐτῶν, 2
ἐπὶ πατρὶ καὶ μητρὶ καὶ υἱοῖς καὶ θυγατράσιν, ἐπ᾽ ἀδελφῷ [3]καὶ ἐπ᾽ 3
ἀδελφῇ παρθένῳ τῇ ἐγγιζούσῃ αὐτῷ τῇ μὴ ἐκδεδομένῃ ἀνδρί, ἐπὶ
τούτοις μιανθήσεται. [4]οὐ μιανθήσεται ἐξάπινα ἐν τῷ λαῷ αὐτοῦ 4
εἰς βεβήλωσιν αὐτοῦ. [5]καὶ φαλάκρωμα οὐ ξυρηθήσεσθε τὴν κεφα- 5
λὴν ἐπὶ νεκρῷ καὶ τὴν ὄψιν τοῦ πώγωνος οὐ ξυρήσονται καὶ ἐπὶ
τὰς σάρκας αὐτῶν οὐ κατατεμοῦσιν ἐντομίδας. [6]ἅγιοι ἔσονται τῷ 6
θεῷ αὐτῶν καὶ οὐ βεβηλώσουσιν τὸ ὄνομα τοῦ θεοῦ αὐτῶν· τὰς
γὰρ θυσίας κυρίου δῶρα τοῦ θεοῦ αὐτῶν αὐτοὶ προσφέρουσιν καὶ
ἔσονται ἅγιοι. [7]γυναῖκα πόρνην καὶ βεβηλωμένην οὐ λήμψονται 7
καὶ γυναῖκα ἐκβεβλημένην ἀπὸ ἀνδρὸς αὐτῆς· ἅγιός ἐστιν τῷ κυ-
ρίῳ θεῷ αὐτοῦ. [8]καὶ ἁγιάσει αὐτόν, τὰ δῶρα κυρίου τοῦ θεοῦ ὑμῶν 8
οὗτος προσφέρει· ἅγιος ἔσται, ὅτι ἅγιος ἐγὼ κύριος ὁ ἁγιάζων
αὐτούς. [9]καὶ θυγάτηρ ἀνθρώπου ἱερέως ἐὰν βεβηλωθῇ τοῦ ἐκπορ- 9
νεῦσαι, τὸ ὄνομα τοῦ πατρὸς αὐτῆς αὐτὴ βεβηλοῖ· ἐπὶ πυρὸς κα-
τακαυθήσεται.
[10]Καὶ ὁ ἱερεὺς ὁ μέγας ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ, τοῦ ἐπικεχυ- 10
μένου ἐπὶ τὴν κεφαλὴν τοῦ ἐλαίου τοῦ χριστοῦ καὶ τετελειωμένου
ἐνδύσασθαι τὰ ἱμάτια, τὴν κεφαλὴν οὐκ ἀποκιδαρώσει καὶ τὰ ἱμά-
τια οὐ διαρρήξει [11]καὶ ἐπὶ πάσῃ ψυχῇ τετελευτηκυίᾳ οὐκ εἰσελεύ- 11
σεται, ἐπὶ πατρὶ αὐτοῦ οὐδὲ ἐπὶ μητρὶ αὐτοῦ οὐ μιανθήσεται· [12]καὶ 12
ἐκ τῶν ἁγίων οὐκ ἐξελεύσεται καὶ οὐ βεβηλώσει τὸ ἡγιασμένον

25 ανα μεσον 3° > A† | καθαρων 2° ... ακαθαρτων 2°] tr. A† | α > A† || 26 αγιος] + ειμι A Bc

21 1 μιανθησεσθε A† || 2 μητρι et υιοις et θυγ.] pr. επι A || 3 επ > B* | μιανθησεσθαι(pro -θε) A† || 4 ου μιανθ. > B*A || 5 ξυρηθησεσθε] -ρησεται A† || 8 του > B† || 9 βεβηλωθη] pr. εκ Bc || 11 τετελευτηκυιη B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/247 UNIVERSITÄT LEIPZIG